νικῆσαι αὐτοὺς ἐναντίον. Ην ῥαφανιδωθῇ.] οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾐκίζοντο. ῥαφανίδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων. καὶ παρατίλλοντες αὐτοὺς, τέφραν θερμὴν ἐπέπαττον βασάνους ἱκανὰς ἐργαζόμενοι. Τίνα γνώμην.] ἀντὶ τοῦ ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι. Ην δ' εὐρύπρωκτος.] ἔκθεσις τῆς

A διπλῆς ἀμοιβαία. ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ιή. δίμετρα ἀκατάληκτα. τὸ μὲν τὸ ζ καὶ ιά τρίμετρα καὶ τὸ ί πενθημιμερές. τὸ ιέ καὶ ιζ μονόμετρα. τὸ δὲ τελευταῖον ἑφθημιμερές. ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν τῇ ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.

Αδ. Τί δῆτ' ἐρεῖς ἢν τοῦτο νικηθῇς ἐμοῦ;
Δι. Σιγήσομαι. τί δ' ἄλλο; Αδ. φέρε δή μοι
φράσον
Συνηγοροῦσιν ἐκ τίνων;
Δι. Ἐξ εὐρυπρώκτων. Αδ. πείθομαι.
Τί δαὶ τραγῳδοῦσ' ἐκ τίνων;
Δι. Ἐξ εὐρυπρώκτων. Αδ. εὖ λέγεις.
Καὶ δημαγωγοῦσ' ἐκ τίνων,
Δι. Ἐξ εὐρυπρώκτων. Αδ. ἆρα δῆ-
τ' ἔγνωκας ὡς οὐδὲν λέγεις;
Καὶ τῶν θεατῶν ὁπότεροι πλείους, σκόπει.
Δι. Καὶ δὴ σκοπῶ. Αδ. τί δῆθ' ὁρᾷς;
Δι. Πολὺ πλείονας, νὴ τοὺς θεοὺς,
Τοὺς εὐρυπρώκτους.
Καὶ τουτονὶ γοῦν οἶδ' ἐγώ. κἀκεινονί.
Καὶ τὸν κομήτην τουτονί.
Αδ. Τί δῆτ' ἐρεῖς;
Δι. Ἡττώμεθ' ὦ κινούμενοι,
Πρὸς τῶν θεῶν δέξασθέ μου
Θοἰμάτιον, ὡς
Ἐξαυτομολῶ πρὸς ὑμᾶς.

IN. *Quid verò dices, si ego te iam vicero?*
B IV. *Tacebo: quid ergo?* IN. *agè, dic mihi, quod te rogo.*
*Vnde aduocati, aut ex quibus?*
IV. *Ex hominibus ampli podicis,*
IN. *Consentio. sed vnde Tragici?*
IV. *Ex hominibus ampli podicis.*
IN. *Rectè. Sed vnde præsides*
*Et ciuitatis sunt duces?*
IV. *Ex hominibus ampli podicis.*
C IN. *Quàm ergò nihil dicas, viden'?*
*Et spectatorum vtri sint plures, dispice.*
IV. *Sanè dispicio.* IN. *& quid vides?*
IV. *Quamplurimos, ita me Deus*
*Amet, ampli podicis*
*Et hunc noui talem, atque illum, atque hunc cōptulum.*
IN. *Quid nunc ais?*
D IV. *Vincor manifestè: obsecro vos,*
*Cinædi, pallium meum*
*Accipite, vti*
*Hinc perfugiam citò ad vos,*

Σχόλια. Ην τοῦτο.] λείπει ἡ εἰς. ἵνα ᾖ εἰς τοῦτο. δύο προθέσεων ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ ὅτι οὐκ ἔστι κακὸν εὐρύπρωκτον εἶναι. Τραγῳδοῦσιν] εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν. ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. Ω κινούμενοι.] τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησὶν ὁμολογῶν ἡττᾶσθαι, ἢ νεανίσκος ὁ τῶν λόγων κρι-

E τής, ὃ καὶ μᾶλλον φαίνεται ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος αὐτῷ συνάχθεσθαι παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ.

Bisetvs. Ω κινούμενοι] κινούμενοι δὲ, τουτέστι κίναιδοι. κινεῖν γὰρ τὸ φθείρειν, καὶ τὸ βινεῖν.

• Σχόλια. Θοιμάτιον.] ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρείσῃ πρὸς αὐτὸν καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ

### Σκηνὴ τετάρτη.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΧΟΡΟΣ.

## ACTVS III. SCENA IV.

F Socrates, Strepsiades, Phidippides, Chorvs.

Σω. Τί δῆτα; πότερον τουτονὶ ἐπάγεσθαι λαβὼν
Βούλει τὸν υἱὸν, ἢ διδάσκω σοι λέγειν.
Στ. Δίδασκε. καὶ κόλαζε. καὶ μέμνησ' ὅπως

*Qvid igitur? vin' tu hunc filium compellere*
*Prehensum, an vis, vt ego doceam illum dicere?*
ST. *Doce, castiga, & vt exacuas atque in-*
G *struas*

Σχόλια. Τί δῆτα πότερον.] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐν ἐκθέσει δὲ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβραχυν ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος.